Conjugación. —1. Escribir: *a*) 1.ª pl. de los ς aor. de λέγω; *b*) aor dep. de διαλεγομαι; *c*) perf. act. y med. de αἱρεω; *d*) aor. II de πάσχω. 2. Analizar: *a*) ὑπάρχει - μισῶν - φιλῶν - ἐλθέ - ἐπίβηθι - μετεσχε - παρεληλυθότος, ἐλήλυθας, ἔρχεται; *b*) ἐψόμεθα, εἰπόμεθα, ἑπόμενοι - πεπόνθαμεν - ἐπόθης - πεπτωκώς, προσπεσών - ἐμπεσεῖται.

TRADUCCIÓN.—30

ἡ κραυγή ῆς gritería
τὸ ὄχημα ατος carro
ἡ μοῖρα ας suerte, condición, parte, grado
τὸ ἄγαλμα ατος estatua

μισέω odiar
κρύπτω esconder
ἐπι-χειρέω emprender, hacer

αὖ *particula* luego, también
παραυτίκα *adv.* al momento

1. Ὄλυνθος, πόλις ἐπὶ Θράκης, χρόνῳ τ' εἰς δύναμιν προῆλθε μεγάλην, καὶ τῶν συγγενῶν πόλεων ὑπερέσχε.

2. Ἐγὼ μὲν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, μὰ τοὺς θεούς, οὔτε φιλῶν οὐδετέρους οὔτε μισῶν ἰδίᾳ εἴρηκα, ἀλλ' ἃ νομίζω συμφέρειν ὑμῖν. Demóstenes.

3. Ἅπαντα δόκει ποιεῖν ὡς μηδένα λήσων. Καὶ γὰρ ἂν παραυτίκα κρύψῃς, ὕστερον ὀφθήσῃ. Isócrates.

4. Καὶ κραυγῆς γενομένης, εἰς τὰ ὅπλα πάντες ἔδραμον οἱ Ἕλληνες.

5. Ἡ Παιδεία ἔφη· ἐλθὲ ἤδη, ἐπίβηθι τούτου τοῦ ὀχήματος. Luciano.

6. Ὁ γάρ ἐστι χείριστον αὐτῶν ἐκ τοῦ παρεληλυθότος χρόνου, τοῦτο πρὸς τὰ μέλλοντα βέλτιστον ὑπάρχει.

7. Ἦ εἰ κεκμηκώς τι ἢ τετρωμένος ἢ πεπληγμένος ἢ ἀλλ' ὁτιοῦν πεπονθὼς ἑκάτερος ἡμῶν εἴη, οὐ καὶ ἀμφότεροι αὖ ἂν τοῦτο πεπόνθοιμεν; Platón.

8. Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας, πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ συγγένειαν ζῷων μόνον θεοὺς ἐνόμισεν, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν. Platón.

9. Κλεομένης ὁ βασιλεὺς Λακεδαιμονίων νυκτὸς ἐξαίφνης

προσπεσὼν τῇ Μεγάλῃ πόλει, καὶ τὰς φυλακὰς βιασάμενος, ἐντὸς παρῆλθε καὶ τὴν ἀγορὰν κατέλαβεν.

10. Σύμμαχοι δ' ἡμῖν οἱ μὲν ὑπάρχουσιν, ὥς φασιν, οἱ δὲ προσγενήσονται νυνί· καὶ τί ἂν ἄλλο βουλοίμεθα. Demóstenes.

1. ὑπερέσχε; se construyen con gen. los verbos que incluyen idea de comparación. **2.** φιλῶν... μισῶν, part **3.** ὡς λήσων μηδένα *como si no pudieras ocultarte a nadie, como si todos debieran saberlo.* **5.** ἐπιβαίνω *subir* rige gen. del lugar o cosa sobre la que se sube. **6.** ὑπάρχει trad. *resultará, puede resultar.* **7.** τι *en algo.*—οὐ *¿no es verdad que...?* **8.** μετέχω rige gen. **10.** ὑπάρχουσιν *son.*

Argumento de las obras de Homero

Ἆρ' Ὅμηρος περὶ ἄλλων τινῶν λέγει ἢ ὥνπερ σύμπαντες οἱ ἄλλοι ποιηταί; Οὐ περὶ πολέμου τε τὰ πολλὰ διελήλυθεν καὶ περὶ ὁμιλιῶν πρὸς ἀλλήλους ἀνθρώπων ἀγαθῶν τε καὶ κακῶν καὶ ἰδιωτῶν καὶ δημιουργῶν, καὶ περὶ θεῶν πρὸς ἀλλήλους καὶ πρὸς ἀνθρώπους ὁμιλούντων, ὡς ὁμιλοῦσι, καὶ περὶ τῶν οὐρανίων παθημάτων καὶ περὶ τῶν ἐν Ἅιδου, καὶ γενέσεις καὶ θεῶν καὶ ἡρώων; Οὐ ταῦτά ἐστι περὶ ὧν Ὅμηρος τὴν ποίησιν πεποίηκεν; Platón.

ἢ Ὅμηρος... *¿Homero habla tal vez de cosas distintas...?* — οἱ ἄλλοι ποιηταί se entiende λέγουσιν. — οὐ περὶ... *¿no trata acaso.* πολλά *con frecuencia, principalmente.* — ἐν (se entiende οἴκῳ) Ἅιδου *en (la mansión) del Hades.* — οὐ ταῦτά ἐστι... *¿no es sobre estos argumentos que Homero...*

COMPOSICIÓN

XXIX.—1. No huyamos (*subj. aor. 3.°*) del peligro, antes bien luchemos (*subj.*) valientemente. — 2. Ciro aplacó (la) tierra (con) libaciones (*dat.*), y a los dioses (con) sacrificios (*dat.*).—3. Os (*ac.*) recordaré (*fut.*) la virtud (*ac.*) de (vuestros) antepasados.—4. Ulises y Diomedes fueron (*aor.*) culpables (de que) Troya fuera tomada (*inf. aor.*). — 5. Un agricultor encontró huevos de serpiente.

XXX.—1. Aquiles se distinguió de todos (por) el valor (*dat.*).—2. Los ciudadanos salieron (corriendo) de (*prep.*) la ciudad. — 3. Alcibíades cogió el botín de los calcedonios. — 4. Alejandro llegado a (la edad de) veinte años recibió el reino de su padre Filipo. — 5. Nadie se entristezca (por) las desgracias (*dat.*) que sobrevienen (*part. aor. 2.°*).

ΑΝΘΟΛΟΓΙΑ

ANTOLOGÍA

FÁBULAS

La perdiz y el hombre

Πέρδικά τις θηρεύσας ἤμελλε σφάξαι. Ἡ δὲ ἱκέτευε λέγουσα· «Ἔασόν με ζῆν καὶ ἀντ' ἐμοῦ πολλὰς πέρδικας ἐγώ σοι κυνηγήσω.» Ὁ δὲ εἶπεν· «Δι' αὐτὸ τοῦτο μᾶλλόν σε θύσω, ὅτι τοὺς συνήθεις καὶ φίλους σοι ἐνεδρεῦσαι θέλεις.»

Ὅτι ὁ κατὰ φίλων αὐτοῦ δολίας μηχανὰς συντιθεὶς αὐτὸς ἐν ταῖς ἐνέδραις ἐμπεσεῖται.

ἤμελλε véase Aumento, lec. V. *estaba a punto de.* — ἔασόν με ζῆν *déjame vivir.* — κατὰ φίλων αὐτοῦ *contra sus amigos.*

El mono y el camello

Ἐν συνόδῳ τῶν ἀλόγων ζῴων πίθηκος ἀναστὰς ὠρχήσατο. Σφόδρα δὲ αὐτοῦ εὐδοκιμοῦντος καὶ ὑπὸ πάντων ὑποσημαινομένου, κάμηλος φθονήσασα ἐβουλήθη τῶν αὐτῶν ἐφικέσθαι. Διόπερ ἐξαναστᾶσα ἐπειρᾶτο καὶ αὐτὴ ὀρχεῖσθαι. Πολλὰ δὲ αὐτῆς ἄτοπα ποιούσης, τὰ ζῷα ἀγανακτήσαντα βοπάλοις αὐτὴν παίοντα ἐξήλασαν.

Πρὸς τοὺς διὰ φθόνον κρείττοσιν ἁμιλλωμένους ὁ λόγος εὔκαιρος.

ἐν συνόδῳ *en una asamblea.* — σφόδρα δέ etc. *siendo (el mono) muy aplaudido y recibiendo la aprobación de todos (los presentes).* — τῶν αὐτῶν ἐφικέσθαι *alcanzar los mismos aplausos;* los verbos que significan *alcanzar, obtener* se construyen con gen. de la cosa alcanzada. — αὐτῆς ποιούσης gen. absoluto: *habiendo hecho (el camello) muchas ridiculeces.* — κρείττοσιν *con los que son mejores (que ellos).*

El asno y las cigarras

Ὄνος, ἀκούσας τεττίγων ᾀδόντων ἥσθη, καὶ ζηλώσας αὐτῶν τὴν εὐφωνίαν, ἐπυνθάνετο τί σιτούμενοι τοιαύτην φωνὴν ἀφιᾶσι. Τῶν δὲ εἰπόντων· « Δρόσον », ὁ ὄνος προσμένων δρόσον λιμῷ διεφθάρη.

Οὕτω καὶ οἱ τῶν παρὰ φύσιν ἐπιθυμοῦντες, πρὸς τῷ μὴ ἐφικνεῖσθαι καὶ τὰ μέγιστα δυστυχοῦσιν.

ἀκούω rige gen. de persona y ac. de cosa. — ἥσθη de ἥδομαι. — ἐπυνθάνετο *preguntaba cuál era su alimento, ya que tenían voz tan sonora (ya que emitían tal voz)* — οὕτω... *los que desean las cosas contrarias a la naturaleza, además de no poder alcanzarlas...*

El cervatillo y el ciervo

Νεβρός ποτε πρὸς τὸν ἔλαφον εἶπε· « Πάτερ, σὺ καὶ μείζων καὶ ταχύτερος κυνῶν πέφυκας, καὶ κέρατα πρὸς τούτοις ὑπερφυᾶ φέρεις εἰς ἄμυναν. Τί δή ποτ' οὖν οὕτω τούτους φοβῇ; » Κἀκεῖνος γελῶν εἶπεν· « Ἀληθῆ μὲν ταῦτα φῄς, τέκνον· ἓν δ' οἶδα, ὡς, ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν οὐκ οἶδ' ὅπως ἐκφέρομαι.

Ὁ μῦθος δηλοῖ ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ῥώννυσιν.

πέφυκας *eres por naturaleza.*-ἀληθῆ... *es verdad lo que dices.*-ἕν de εἷς, μία, ἕν.

El cazador cobarde y el leñador

Λέοντός τις κυνηγὸς ἴχνη ἐπεζήτει· δρυτόμον δὲ ἐρωτήσας εἰ εἶδεν ἴχνη λέοντος καὶ ποῦ κοιτάζει, ἔφη· « Καὶ αὐτὸν τὸν λέοντά σοι ἤδη δείξω ». Ὁ δὲ ὠχριάσας ἐκ τοῦ φόβου καὶ τοὺς ὀδόντας συγκρούων εἶπεν· « Ἴχνη μόνα ζητῶ, οὐχὶ αὐτὸν τὸν λέοντα ».

Τοὺς θρασεῖς καὶ δειλοὺς ὁ μῦθος ἐλέγχει, τοὺς τολμηροὺς ἐν τοῖς λόγοις καὶ οὐκ ἐν τοῖς ἔργοις.

δρυτόμον... *habiendo preguntado a un leñador.*—καὶ ποῦ κοιτάζει *y dónde tenía su guarida.*—δείξω fut. de δείκνυμι. Lec. XXVII.—τοὺς θρασεῖς... *la fábula reprende a los (que son a la vez) valientes.*

El abubilla

Κορυδαλλὸς εἰς πάγην ἁλοὺς θρηνῶν ἔλεγεν· « Οἴμοι τῷ ταλαιπώρῳ καὶ δυστήνῳ πτηνῷ· οὐ χρυσὸν ἐνοσφισάμην τινός, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν τιμίων· κόκκος δὲ σίτου μικρὸς τὸν θάνατόν μοι προὐξένησεν ».

Ὁ μῦθος πρὸς τοὺς διὰ κέρδος εὐτελὲς μέγαν ὑφισταμένους κίκδυνον.

οἴμοι *¡ay de mí! desdichado.* — προὐξένησεν cfr. aumento. Lec. VI.

El agricultor y la serpiente

Γεωργός τις χειμῶνος ὥρᾳ ὄφιν εὑρὼν ὑπὸ κρύους πεπηγότα, τοῦτον ἐλεήσας καὶ λαβὼν ὑπὸ κόλπον ἔθετο. Θερμανθεὶς δὲ ἐκεῖνος καὶ ἀναλαβὼν τὴν ἰδίαν φύσιν ἔπληξε τὸν εὐεργέτην καὶ ἀνεῖλε· Θνήσκων δὲ ἔλεγε· « Δίκαια πάσχω, τὸν πονηρὸν οἰκτείρας ».

Ὁ λόγος δηλοῖ ὅτι ἀμετάθετοί εἰσιν αἱ πονηρίαι, κἂν τὰ μέγιστα φιλανθρωπεύωνται.

ὄφιν εὑρών... *encontrando una serpiente.*—πεπηγότα ac. part. perf. de πήγνυμι *rígida a causa del frío.* — κἂν... *aunque reciban los mayores beneficios.*

El médico y el enfermo

Ἰατρὸς νοσοῦντα ἐθεράπευε. Τοῦ δὲ νοσοῦντος ἀποθανόντος, ἐκεῖνος πρὸς τοὺς ἐκκομίζοντας ἔλεγεν· « Οὗτος ὁ ἄνθρωπος, εἰ οἴνου ἀπείχετο καὶ κλυστῆρσιν ἔχρητο, οὐκ ἂν ἐτεθνήκει ». Τῶν δὲ παρόντων ὑπολαβών τις ἔφη· « Ὦ βέλτιστε, οὐκ ἔδει σε ταῦτα νῦν λέγειν, ὅτε μηδὲν ὄφελός ἐστιν, ἀλλὰ τότε παραινεῖν, ὅτε τούτοις χρῆσθαι ἠδύνατο ».

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοὺς φίλους ἐν καιρῷ ἀνάγκης τὰς βοηθείας παρέχειν καὶ μὴ μετὰ τῶν πραγμάτων ἀπόγνωσιν κατειρωνεύεσθαι.

τοῦ δὲ νοσοῦντος ἀποθανόντος gen. abs. *habiendo muerto el enfermo.* — εἰ οἴνου ἀπείχετο *si se hubiera abstenido del vino.* — ὅτε μηδὲν ὄφελός ἐστιν *cuando es ya del todo inútil.* — καὶ μὴ μετὰ τῶν πραγμάτων ἀπόγνωσιν *y no cuando su situación es desesperada;* literalmente *después de la desesperación de sus asuntos.*

Apuntes para el cuaderno de Ciencias

DEFINICIONES

Ὅροι. — Σημεῖόν ἐστιν, οὗ μέρος οὐδέν. — Γραμμὴ δὲ μῆκος ἀπλατές. — Ἐπιφάνεια δέ ἐστιν ὃ μῆκος καὶ πλάτος μόνον ἔχει. — Παράλληλοί εἰσιν εὐθεῖαι, αἵτινες ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι καὶ ἐμβαλλόμεναι εἰς ἄπειρον ἐφ' ἑκάτερα τὰ μέρη, ἐπὶ μηδέτερα συμπίπτουσιν ἀλλήλαις.

Τὰ τῷ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἐστὶν ἴσα. — Καὶ τὸ ὅλον τοῦ μέρους μεῖζόν ἐστιν. — Ἴσοι κύκλοι εἰσίν, ὧν αἱ διάμετροι ἴσαι εἰσίν, ἢ ὧν αἱ ἐκ τῶν κέντρων γραμμαὶ ἴσαι εἰσίν.

POSTULADOS

Λαμβανόμενα. — Λαμβάνω δὲ ταῦτα· Τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν γραμμῶν ἐλαχίστην εἶναι τὴν εὐθεῖαν. — Ὁμοίως δὲ καὶ τῶν ἐπιφανειῶν τῶν τὰ αὐτὰ πέρατα ἐχουσῶν, ἐὰν ἐν ἐπιπέδῳ τὰ πέρατα ἔχωσιν, ἐλάττονα εἶναι τὴν ἐπίπεδον.

LÍQUIDOS Y SÓLIDOS

Παντὸς ὕδατος ἡσυχάζοντος ὥστε ἀκίνητον μένειν ἡ ἐπιφάνεια σφαιροειδὴς ἔσται, ἔχουσα τὸ αὐτὸ τῇ γῇ κέντρον.

Τῶν στερεῶν μεγεθῶν τὰ τοῦ ὑγροῦ κουφότερα, ἐὰν εἰς ὑγρὸν καθιῶνται, οὐχ ὅλα βαπτισθήσεται, ἀλλ' ἔσται τι αὐτῶν καὶ ἔξω τῆς ἐπιφανείας τοῦ ὑγροῦ.

οὗ μέρος lat. *cuius pars.* — ord ὃ ἔχει μόνον (*adv.*) μῆκος καί: ὃ *aquello que.* — εὐθεῖαι se entiende γραμμαί. — ἐμβαλλόμεναι εἰς ἄπειρον *prolongadas hasta el infinito* — ἐπὶ μηδέτερα entiéndase μέρη. — εἶναι en infinitivo, regido de λαμβάνω — τῇ γῇ dativo de comunidad; trad. *el mismo* (*idéntico*) *centro que la tierra.* — βαπτισθήσεται verbo en sing. con sujeto n. pl.

Apuntes para el cuaderno de Geografía

I. Ἡ Ἑλλὰς ἔχει ἐν τῇ ἑσπέρᾳ καὶ τοῖς ἄρκτοις τὰ Ἠπειρωτικὰ ἔθνη, καὶ τὰ τῶν Ἰλλυριῶν, ἐν δὲ τῇ ἕῳ καὶ τοῖς ἄρκτοις τὰ τῶν Μακεδόνων καὶ τὰ τῆς Θρᾴκης. Ἀπὸ τῆς Ἠπείρου μέχρι τῆς Μακεδονίας ἡ θάλαττα κυκλοῖ πᾶσαν τὴν Ἑλλάδα· νῆσοι δὲ πολλαὶ ἔνθα καὶ ἔνθα ὥσπερ φυλακαὶ τοῦ σώματος περι-

ΙΛΛΥΡΙΑ
ΜΑΚΕΔΟΝΙΑ
Ἀλιάκμωνος
ΧΑΛΚΙΔΙΚΗ
ΗΠΕΙΡΟΣ
Πηνειός
ΘΕΣΣΑΛΙΑ
Ἀχελῶος
ΛΟΚΡΙΣ
Εὔηνος
ΑΚΑΡΝΑΝΙΑ
Παρνασσός
ΦΩΚΙΣ
ΑΙΤΩΛΙΑ
Ἐλάτεια
ΕΥΒΟΙΑ
ΛΟΚΡΙΣ
Δελφοί
ΒΟΙΩΤΙΑ
ΙΘΑΚΗ
Λεῦκτρα
ΘΗΒΑΙ
Πλάταιαι
Ἀράξης
Κορινθιακός κόλπος
ΑΤΤΙΚΗ
ΑΧΑΙΑ
Σικυών
Ἰσθμός
ΚΕΦΑΛΛΗΝΙΑ
ΗΛΙΣ
ΠΕΛΟΠΟΝΝΗΣΟΣ
ΣΑΛΑΜΙΣ
ΑΘΗΝΑΙ
Κόρινθος
ΑΡΓΕΙΑ
ΖΑΚΥΝΘΟΣ
Ὀλυμπία
ΑΡΚΑΔΙΑ
Ἄργος
Ἀλφειός
Μεσσήνη
ΙΩΝΙΚΗ
ΘΑΛΑΤΤΑ
ΜΕΣΣΗΝΙΑ
ΣΠΑΡΤΗ
ΛΑΚΩΝΙΚΗ
ΕΛΛΑΣ
ΑΙΓΑΙΑ
ΘΑΛΑΤΤΑ
ΚΡΗΤΗ

ἑστησαν· ἄξιαι μνήμης Ἰθάκη εὐδείελος, Ζάκυνθος ὑλώδης, αἱ Κυκλάδες, Εὔβοια στενοφυής.

II. Ἔστι ἡ Πελοπόννησος ἐοικυῖα φύλλῳ πλατάνου τὸ σχῆμα, ἴση σχεδόν τι κατὰ μῆκος καὶ κατὰ πλάτος, ὅσον χιλίων καὶ τετρακοσίων σταδίων. Ἔχουσι δὲ τῆς χερρονήσου ταύτης τὸ μὲν ἑσπέριον μέρος Ἠλεῖοι καὶ Μεσσήνιοι.

Ἑξῆς δὲ μετὰ μὲν τὴν Ἦλιν ἐστὶ τὸ τῶν Ἀχαιῶν ἔθνος πρὸς ἄρκτους βλέπων, καὶ τῷ Κορινθίῳ κόλπῳ παρατεῖνον, τελευτᾷ δ' εἰς Σικυωνίαν. Ἐντεῦθεν δὲ Σικυὼν καὶ Κόρινθος ἐκδέχεται μέχρι τοῦ Ἰσθμοῦ. Μετὰ δὲ τὴν Μεσσηνίαν ἡ Λακωνικὴ καὶ ἡ Ἀργεία, μέχρι τοῦ Ἰσθμοῦ καὶ αὕτη. Μέση δ' ἐστὶν ἡ Ἀρκαδία πᾶσιν ἐπικειμένη καὶ γειτνιῶσα τοῖς ἄλλοις ἔθνεσιν.

III. Ἡ Ἀττικὴ δ' ἐστὶν ἀμφιθάλαττος, στενὴ τὸ πρῶτον, εἶτ' εἰς τὴν μεσόγαιαν πλατύνεται. Ἡ τῶν Ἀθηναίων πόλις ὀνομαστοτάτη ἐν πάσῃ τῇ Ἑλλάδι ἐφάνη. Πλαταιαὶ δὲ ὑπὸ τῷ Κιθαιρῶνί εἰσι, μεταξὺ αὐτοῦ καὶ Θηβῶν κατὰ τὴν ὁδὸν τὴν εἰς Ἀθήνας καὶ Μέγαρα ἐπὶ τῶν ὅρων τῶν τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας. Τὰ δὲ Λεῦκτρά ἐστιν ὅπου Λακεδαιμονίους μεγάλῃ μάχῃ ἐνίκησε Ἐπαμεινώνδας. Μετὰ δὲ τὴν Βοιωτίαν ἡ Φωκὶς ἐστι πρὸς ἄρκτον. Ταύτης δ' ἐπιφανέσταται δύο πόλεις Δελφοί τε καὶ Ἐλάτεια. Ὁ Παρνασὸς ἐπὶ τῶν ἑσπερίων ὅρων ἵδρυται τῆς Φωκίδος. Ἡ Λοκρὶς διῄρηται δὲ δίχα· τὸ μὲν γὰρ αὐτῆς ἐστιν οἳ πρὸς Εὔβοιαν Λοκροί, τὸ δὲ λοιπὸν οἱ ἑσπέριοί εἰσι Λοκροί· οἱ δὲ καὶ Ὀζόλαι καλοῦνται.

Τὰ μέσα τῆς Θετταλίας, εὐδαιμονεστάτη χώρα, ποταμόκλυστός ἐστιν. Ὁ γὰρ Πηνειὸς διὰ μέσης ῥέων καὶ πολλοὺς δεχόμενος ποταμοὺς ὑπερχεῖται πολλάκις· τὸ δὲ παλαιὸν καὶ ἑλιμνάζετο. Αἰτωλοὶ καὶ Ἀκαρνᾶνες ὁμοροῦσιν ἀλλήλοις μέσον ἔχοντες τὸν Ἀχελῷον ποταμόν, ῥέοντα ἀπὸ τῶν ἄρκτων καὶ τῆς Πίνδου πρὸς νότον· Ἀκαρνᾶνες μὲν τὸ πρὸς ἑσπέραν μέρος ἔχοντες τοῦ ποταμοῦ· Αἰτωλοὶ δὲ τὸ πρὸς ἕω μέχρι τῶν Ὀζολῶν.

IV. Ὁ δὲ Κορίνθιος κόλπος ἄρχεται μὲν ἀπὸ τῶν ἐκβολῶν τοῦ Εὐήνου — τινὲς δέ φασιν τοῦ Ἀχελῴου τοῦ ὁρίζοντος Ἀκαρ-

νᾶνας καὶ τοὺς Αἰτωλοὺς — καὶ τοῦ Ἀράξου. Ἐνταῦθα γὰρ πρῶτον ἀξιόλογον συναγωγὴν λαμβάνουσι πρὸς ἀλλήλας αἱ ἑκατέρωθεν ἀκταί· συμπίπτουσι κατὰ τὸ Ῥίον καὶ Ἀντίρριον. Τὸ μὲν Ῥίον, τῶν Ἀχαιῶν ἁλιτενὴς ἄκρα, καλεῖται καὶ Δρέπανον· τὸ δ' Ἀντίρριον ἐν μεθορίοις τῆς Αἰτωλίας καὶ τῆς Λοκρίδος ἵδρυται. Ἔχει δὲ τὴν περίμετρον ὁ Κορίνθιος κόλπος ἀπὸ μὲν τοῦ Εὐήνου μέχρι Ἀράξου σταδίων δισχιλίων διακοσίων τριάκοντα· εἰ δ' ἀπὸ τοῦ Ἀχελῴου πλεονάζοι ἂν ἑκατόν που σταδίοις.

I. ἐν τῇ ἑσπερᾳ καὶ τοῖς ἄρκτοις *a noroeste, al norte hacia occidente.* — ἐν δὲ τῇ ἕῳ καὶ τοῖς ἄρκτοις *a nordeste, al norte hacia oriente.* — II. τὸ σχῆμα ac. de relación, *por su figura, por su contorno.* — III. ἀπὸ τῶν ἐκβολῶν *desde la desembocadura.*

Aristóteles, maestro de Alejandro

1 Φίλιππος καθορῶν τὴν φύσιν Ἀλεξάνδρου δυσκίνητον μὲν οὖσαν, αὐτός τε πείθειν ἐπειρᾶτο μᾶλλον ἢ προστάττειν· καὶ μετεπέμψατο τῶν φιλοσόφων τὸν ἐνδοξότατον καὶ λογιώτατον Ἀριστοτέλην, καλὰ καὶ πρέποντα διδασκάλια τελέσας αὐτῷ. — 2 Τὴν γὰρ Σταγειριτῶν πόλιν ἐξ ἧς ἦν Ἀριστοτέλης, ἀνάστατον ὑπ' αὐτοῦ γεγενημένην, συνῴκισε πάλιν, καὶ τοὺς διαφυγόντας ἢ δουλεύοντας τῶν πολιτῶν ἀποκατέστησε. — 3 Σχολὴν μὲν οὖν αὐτοῖς καὶ διατριβὴν Φίλιππος τὸ περὶ Μίεζαν Νυμφαῖον ἀπέδειξεν, ὅπου μέχρι νῦν Ἀριστοτέλους ἕδρας τε λιθίνας καὶ ὑποσκίους περιπάτους δεικνύουσιν. — 4 Ἀλέξανδρος ἦν δὲ καὶ φύσει φιλόλογος καὶ φιλαναγνώστης. Καὶ τὴν μὲν Ἰλιάδα τῆς πολεμικῆς ἀρετῆς ἐφόδιον καὶ νομίζων καὶ ὀνομάζων, ἔλαβε μὲν Ἀριστοτέλους διορθώσαντος, ἣν «ἐκ τοῦ νάρθηκος» καλοῦσιν, εἶχε δ' ἀεὶ μετὰ τοῦ ἐγχειριδίου κειμένην ὑπὸ τὸ προσκεφάλαιον, ὡς Ὀνησίκριτος ἱστόρηκε. — 5 Ἀλέξανδρος Ἀριστοτέλην δὲ ἐθαυμάζε καὶ ἠγάπα οὐχ ἧττον, ὡς αὐτὸς ἔλεγε, τοῦ πατρός· ὡς δι' ἐκεῖνον μὲν ζῶν διὰ τοῦτον δὲ καλῶς ζῶν.

1. Φίλιππος rey de Macedonia, padre de Alejandro magno. — αὐτός *Filipo.* — ἐπειρᾶτο πείθειν *intentaba persuadirle más bien que...* — μετεπέμψατο *hizo venir,*

llamó. — τελέσας (Lec. XI) *pagándole unos honorarios.* **2.** τ. Σταγειριτῶν πόλιν *Estagira,* ciudad de la península Calcídica; famosa por ser la patria de Aristóteles, llamado el Estagirita. — ἀποκατέστησε *restableció* devolviéndoles la libertad y permitiéndoles que volvieran a Estagira. **3.** ord. ἀπέδειξεν σχολήν... *les señaló como (lugar de) estudio y residencia.* **4.** Ἀριστοτέλους διορθώσαντος *de Aristóteles, que la había corregido.* - El ejemplar de la Ilíada que llevaba consigo Alejandro había sido revisado por su gran maestro.

Un soldado salva a Ciro caído del caballo

1 Ἔνθα δὴ δεινὴ μάχη ἦν καὶ δοράτων καὶ ξυστῶν καὶ μαχαιρῶν· ἐπλεονέκτουν μέντοι οἱ Αἰγύπτιοι καὶ πλήθει καὶ τοῖς ὅπλοις... Φύρδην ἐμάχοντο καὶ πεζοὶ καὶ ἱππεῖς, πεπτωκὼς δέ τις ὑπὸ τῷ Κύρου ἵππῳ καὶ πατούμενος παίει εἰς τὴν γαστέρα τῇ μαχαίρᾳ τὸν ἵππον αὐτοῦ. Ὁ δὲ ἵππος πληγεὶς σφαδάζων ἀπόσειται τὸν Κύρον. — 2 Ἔνθα δὴ ἔγνω ἄν τις ὅσου ἄξιον εἴη τὸ φιλεῖσθαι ἄρχοντα ὑπὸ τῶν περὶ αὐτόν. Εὐθὺς γὰρ ἀνεβόησάν τε πάντες καὶ προσπεσόντες ἐμάχοντο, ἐῴθουν, ἐωθοῦντο, ἔπαιον, ἐπαίοντο. Καταπηδήσας δέ τις τῶν τοῦ Κύρου ὑπηρετῶν ἀναβάλλει αὐτὸν ἐπὶ τὸν ἑαυτοῦ ἵππον. Ὡς δ' ἀνέβη ὁ Κῦρος, κατεῖδε πάντοθεν ἤδη παιομένους τοὺς Αἰγυπτίους· καὶ γὰρ Ὑστάσπας ἤδη παρῆν σὺν τοῖς Περσῶν ἱππεῦσι καὶ Χρυσάντας. Jenofonte.

1. τις *alguien* (un soldado).—πατούμενος ποίει *y siendo pisoteado hiere.*—σφαδάζων *encabritándose.* **2.** ἔνθα... *de aquí en verdad se puede conocer.* — ὅσου ἄξιον εἴη *hasta qué punto sea importante, qué valor tiene.* — καταπηδήσας... *saltando abajo (del caballo) uno de los asistentes de campo de Ciro.*

Por qué combaten los griegos

1 Ἐγὼ γὰρ ἡγοῦμαι ἐπὶ μὲν Αἴγυπτον καὶ Ὀρόνταν καί τινας τῶν ἄλλων βαρβάρων πολλοὺς ἂν ἐθελῆσαι τῶν Ἑλλήνων μισθοφορεῖν παρ' ἐκείνῳ, οὐχ ἵν' ἐκεῖνος ἔλῃ τινὰ τούτων, ἀλλ' ἵν' εὐπορίαν τιν' ἕκαστος ἑαυτῷ κτησάμενος ἀπαλλαγῇ τῆς ὑπαρχούσης πενίας. 2 Ἐπὶ δὲ τὴν Ἑλλάδα Ἕλλην' οὐδέν' ἂν ἐλθεῖν ἡγοῦμαι. Ποῖ γὰρ αὐτὸς τρέψεται μετὰ ταῦτα; Εἰς Φρυγίαν ἐλθὼν δουλεύσει; Οὐ γὰρ ὑπὲρ ἄλλου τινός ἐστιν ὁ πρὸς τὸν

βάρβαρον πόλεμος ἢ περὶ χώρας καὶ βίου καὶ ἐθῶν καὶ ἐλευθερίας καὶ πάντων τῶν τοιούτων. 3 Τίς οὖν οὕτως δυστυχής ἐστιν, ὅστις ἑαυτόν, γονέας, τάφους, πατρίδα, ἕνεκα κέρδους βραχέος προέσθαι βουλήσεται; Ἐγὼ μὲν οὐδέν' ἡγοῦμαι. Demóstenes.

1. ἐπί, *contra.* — μισθοφορεῖν παρ' ἐκείνῳ *servir como soldados mercenarios* (al rey de Persia, Artajerjes III Ocos). — οὐχ ἵν' ἐκεινος ἕλῃ *no para que él se apodere...* — ἀπαλλαγῇ *pueda verse libre.* 2. ἐπὶ δὲ *mas no creo que ningún griego pueda ir contra Grecia.* — καὶ πάντων τῶν τοιούτων *y por todas las cosas semejantes (a estas).* 3. ὅστις βουλήσεται προέσθαι ἑαυτόν... *el cual querrá hacer traición a sí mismo.*

El ojo del dueño engorda el caballo

1 Χαλεπὸν γὰρ τοῦ διδασκάλου πονηρῶς τι ὑποδεικνύοντος καλῶς τοῦτο ποιεῖν μαθεῖν, καὶ ἀμελεῖν γε ὑποδεικνύοντος τοῦ δεσπότου χαλεπὸν ἐπιμελῆ θεράποντα γενέσθαι. Ὡς δὲ συντόμως εἰπεῖν, πονηροῦ μὲν δεσπότου οἰκέτας οὐ δοκῶ χρηστοὺς καταμεμαθηκέναι· χρηστοῦ μέντοι πονηροὺς ἤδη εἶδον, οὐ μέντοι ἀζημίους γε.

2 Τὸν δὲ ἐπιμελητικοὺς βουλόμενον ποιήσασθαί τινας καὶ ἐφορατικὸν δεῖ εἶναι τῶν ἔργων, καὶ ἐξεταστικόν, καὶ χάριν ἐθέλοντα τῶν καλῶς τελουμένων ἀποδιδόναι τῷ αἰτίῳ, καὶ δίκην μὴ ὀκνοῦντα τὴν ἀξίαν ἐπιθεῖναι τῷ ἀμελοῦντι.

3 Καλῶς δὲ μοι δοκεῖ ἔχειν καὶ ἡ τοῦ βαρβάρου λεγομένη ἀπόκρισις, ὅτε βασιλεὺς ἄρα ἵππου ἐπιτυχὼν ἀγαθοῦ, παχῦναι αὐτὸν ὡς τάχιστα βουλόμενος, ἤρετο τῶν δεινῶν τινα ἀμφ' ἵππους δοκούντων εἶναι τί τάχιστα παχύνει ἵππον.

Τὸν δ' εἰπεῖν λέγεται ὅτι δεσπότου ὀφθαλμός.

1. La expresión impersonal χαλεπόν (se entiende ἐστι) *es difícil,* se construye con un infinitivo a manera de sujeto; χαλεπόν... ποιεῖν μαθεῖν *es difícil hacer aprender.* — τοῦ διδασκάλου ὑποδεικνύοντος... genitivo absoluto; *cuando el maestro enseña.* — ὑποδεικνύοντος suj. τ. δεσπότου genitivo absoluto, como el anterior; *y cuando el dueño.* — ord. χαλεπὸν θεράποντα γενέσθαι ἐπιμελῆ *es difícil que el criado resulte.* — ὡς... *para decirlo.* — οὐ δοκῶ *no creo.* — Tema μαθ(η), de -μανθάνω. — χρηστοῦ se entiende δεσπότου - πονηρούς se ent. οἰκέτας. 2. También la expresión impersonal δεῖ *es necesario, se requiere,* se construye con un infinitivo a

manera de sujeto; ord. δεῖ τὸν βουλόμενον ποιήσασθαί τινας ἐπιμελητικοὺς εἶναι καὶ ἐφορατικὸν τῶν ἔργων... *es necesario que el que desea.* — ord. καὶ ἐθέλοντα ἀποδιδόναι χάριν τῶν τελουμένων... *y que tenga voluntad de dar (la) recompensa.* — ord. καὶ μὴ ὀκνοῦντα ἐπιθεῖναι τὴν δίκην ἀξίαν *y que no dude en aplicar.* **3.** ἔχω con un adverbio se traduce por el verbo *ser* o *estar* y el adjetivo que corresponde al adverbio; aquí trad. *me parece (ser) adecuada la respuesta.* — ἐπιτυχών *habiendo hallado (habiendo adquirido) un caballo.* Los verbos que significan *alcanzar,* como τυχχάνω y compuestos llevan el compl. en genitivo. — ἤρετο... *preguntó a uno de los que parecían ser entendidos.*

El huir es también una virtud militar

1 Σκύθαι λέγονται οὐχ ἧττον φεύγοντες ἢ διώκοντες μάχεσθαι, καὶ Ὅμηρός που ἐπαινῶν τοὺς τοῦ Αἰνείου ἵππους κραιπνὰ μάλ' ἔνθα καὶ ἔνθα ἔφη αὐτοὺς ἐπίστασθαι διώκειν ἠδὲ φέβεσθαι. Καὶ αὐτὸν τὸν Αἰνείαν κατὰ τοῦτο ἐνεκωμίασε, κατὰ τὴν τοῦ φόβου ἐπιστήμην, καὶ εἶπεν αὐτὸν εἶναι «μήστωρα φόβοιο».

2 Λακεδαιμονίους γάρ φασιν ἐν Πλαταιαῖς, ἐπειδὴ πρὸς τοῖς γερροφόροις ἐγένοντο, οὐκ ἐθέλειν μένοντας πρὸς αὐτοὺς μάχεσθαι, ἀλλὰ φεύγειν, ἐπειδὴ δ' ἐλύθησαν αἱ τάξεις τῶν Περσῶν, ἀναστρεφομένους ὥσπερ ἱππέας μάχεσθαι καὶ οὕτω νικῆσαι τὴν ἐκεῖ μάχην. Platón.

1. Σκύθαι λέγονται... en vez de λέγεται Σκύθας; en griego, como en latín, la construcción personal o concertada substituye a menudo a la impersonal. — οὐχ ἧττον... ἤ... *no menos... que persiguiendo* (al enemigo). — cita a Homero; Iliada canto V, v. 222-223. - ord. ἐπίστασθαι διώκειν κραιπνά... *que sabían perseguir rápidamente.* — φόβοιο gen. homérico de φόβος *huida.* **2.** γίγνομαι πρός τινι *encontrarse con alguien.* — πρὸς αὐτούς *contra ellos.*

Episodio de guerra

Αὐτὸς (ὁ Κῦρος) δὲ τὸ μέσον ἔχων σὺν τοῖς Πέρσαις ἐπορεύετο· τοὺς δὲ ἱππέας ἑκατέρωθεν, ὥσπερ εἰκός, παρέταξε. Τῶν δὲ πολεμίων, ἐπεὶ φῶς ἐγένετο, οἱ μὲν ἐθαύμαζον τὰ ὁρώμενα, οἱ δ' ἐγίγνωσκον ἤδη, οἱ δ' ἤγγελλον, οἱ δ' ἐβόων, οἱ δ' ἔλυον ἵππους, οἱ δὲ συνεσκευάζοντο, οἱ δ' ἐρρίπτουν τὰ ὅπλα ἀπὸ τῶν ὑποζυγίων, οἱ δ' ὡπλίζοντο ἐπὶ τοὺς ἵππους, οἱ δ' ἐχαλίνουν, οἱ δὲ τὰς γυναῖκας ἀνεβίβαζον ἐπὶ τὰ ὀχήματα, οἱ δὲ τὰ πλείστου ἄξια

ἐλάμβανον ὡς διασωσόμενοι, οἱ δὲ κατορύττοντες τὰ τοιαῦτα ἡλίσκοντο, οἱ δὲ πλεῖστοι εἰς φυγὴν ὥρμων. Οἴεσθαι δὲ χρὴ καὶ ἄλλα πολλά τε καὶ παντοδαπὰ ποιεῖν αὐτούς, πλὴν ἐμάχετο οὐδείς, ἀλλ' ἀμαχητὶ ἀπώλοντο. Jenofonte.

ὥσπερ εἰκός (ἐστιν) *como es natural.* — τῶν δὲ πολεμίων *en cuanto a los enemigos.* — οἱ μέν... *unos;* οἱ δέ... *otros.* — τὰ ὁρώμενα *aquel espectáculo, lo que estaban contemplando.* — οἱ δὲ τὰς γυναῖκας... *otros hacían subir a las mujeres sobre los carros.* — τὰ πλείστου ἄξια *las cosas de más valor.* — ὡς διασωσόμενοι *con la intención de salvarlas;* ὡς con participio fut. indica el fin o la intención del agente. — οἴεσθαι δὲ χρή... *se debe (conviene) creer que ellos hacían otras muchas y muy distintas cosas, excepto que...*

Alejandro admira la fuente de petróleo

1 Ἀλέξανδρος, ἐπιὼν δὲ τὴν Βαβυλωνίαν, ἐθαύμασε μάλιστα τό τε χάσμα τοῦ πυρὸς ἐν Ἐκβατάνοις, ὥσπερ ἐκ πηγῆς συνεχῶς ἀναφερομένου, καὶ τὸ ῥεῦμα τοῦ νάφθα, λιμνάζοντος διὰ τὸ πλῆθος οὐ πόρρω τοῦ χάσματος.

2 Ὃς τἆλλα μὲν ἀσφάλτῳ προσέοικεν, οὕτω δ' εὐπαθὴς πρὸς τὸ πῦρ ἐστιν, ὥστε πρὶν ἢ θιγεῖν τὴν φλόγα, δι' αὐτῆς τῆς περὶ τὸ φῶς ἐξαπτόμενος αὐγῆς τὸν μεταξὺ πολλάκις ἀέρα συνεκκαίειν.

3 Ἐπιδεικνύμενοι δὲ τὴν φύσιν αὐτοῦ καὶ δύναμιν οἱ βάρβαροι τὸν ἄγοντα πρὸς τὴν κατάλυσιν τοῦ βασιλέως στενωπὸν ἐλαφρῶς τῷ φαρμάκῳ κατεψέκασαν. Εἶτα στάντες ἐπ' ἄκρῳ τοὺς λαμπτῆρας τοῖς βεβρεγμένοις προσέθηκαν.

4 Ἤδη γὰρ συνεσκόταζε. Τῶν δὲ πρώτων εὐθὺς ἁψαμένων, οὐκ ἔσχεν ἡ ἐπινομὴ χρόνον αἰσθητόν, ἀλλ' ἅμα νοήματι διῆκτο πρὸς θάτερον πέρας, καὶ πῦρ ἐγεγόνει συνεχὲς ὁ στενωπός.

1. ἐπιών *dirigiéndose hacia.* — ὥσπερ... *que como de un manantial se levanta (el fuego) continuamente.* — λιμνάζοντος concuerda con τοῦ νάφθα *que forma como un pantano.* **2.** ὅς su antecedente es también νάφθα. — οὕτω... *mas, de tal modo es sensible al fuego.* — ord.; ἐξαπτόμενος δι' αὐτῆς αὐγῆς τῆς περὶ τὸ φῶς. **3.** οἱ βάρβαροι ἐπιδεικνύμενοι .. *los bárbaros para hacerle ver.*—ord.; κατεψέκασαν ἐλαφρῶς τὸν στενωπὸν ἄγοντα πρὸς τήν. — ἐπ' ἄκρῳ *a un extremo (de la calle).* — τοῖς βεβρεγμένοις *a lo que habían rociado.* **4.** τῶν... gen. absoluto; *encendidas las primeras (gotas).* — οὐκ... *la propagación (del fuego) no tuvo (no se hizo en un) tiempo perceptible.* — θάτερον = τὸ ἕτερον. — ἐγεγόνει *se convirtió en.*

El río Xantos y el mar

1 ΞΑΝΘΟΣ. Δέξαι με, ὦ θάλαττα, δεινὰ πεπονθότα καὶ κατάσβεσόν μου τὰ τραύματα.

ΘΑΛΑΤΤΑ. Τί τοῦτο, ὦ Ξάνθε; τίς σε κατέκαυσεν;

ΞΑΝΘ. Ὁ Ἥφαιστος. Ἀλλ' ἀπηνθράκωμαι ὅλος ὁ κακοδαίμων καὶ ζέω.

ΘΑΛ. Διὰ τί δαί σοι καὶ ἐνέβαλε τὸ πῦρ;

2 ΞΑΝΘ. Διὰ τὸν ταύτης υἱὸν τῆς Θέτιδος· ἐπεὶ γὰρ φονεύοντα τοὺς Φρύγας ἱκετεύσας οὐκ ἔπαυσε τῆς ὀργῆς, ἀλλ' ὑπὸ τῶν νεκρῶν ἐνέφραττέ μοι τὸν ῥοῦν, ἐλεήσας τοὺς ἀθλίους ἐπῆλθον ἐπικλύσαι ἐθέλων, ὡς φοβηθεὶς ἀπόσχοιτο τῶν ἀνδρῶν. 3 Ἐνταῦθα ὁ Ἥφαιστος — ἔτυχε γὰρ πλησίον που ὢν — πᾶν ὅσον, οἶμαι, πῦρ εἶχε καὶ ὅσον ἐν τῇ Αἴτνῃ καὶ εἴ ποθι ἄλλοθι, φέρων ἐπῆλθέ μοι, καὶ ἔκαυσε μὲν τὰς πτελέας καὶ μυρίκας, ὤπτησε δὲ καὶ τοὺς κακοδαίμονας ἰχθῦς καὶ τὰς ἐγχέλεις, αὐτὸν δὲ ἐμὲ ὑπερκαχλάσαι ποιήσας μικροῦ δεῖν ὅλον ξηρὸν εἶργασται. Ὁρᾷς γοῦν, ὅπως διάκειμαι ὑπὸ τῶν ἐγκαυμάτων.

4 ΘΑΛ. Θολερός, ὦ Ξάνθε, καὶ θερμός, ὡς εἰκός, τὸ αἷμα μὲν ἀπὸ τῶν νεκρῶν, ἡ θέρμη δέ, ὡς φής, ἀπὸ τοῦ πυρός· καὶ εἰκότως, ὦ Ξάνθε, ὃς ἐπὶ τὸν ἐμὸν υἱωνὸν ὥρμησας, οὐκ αἰδεσθεὶς ὅτι Νηρηίδος υἱὸς ἦν.

5 ΞΑΝΘ. Οὐκ ἔδει οὖν ἐλεῆσαι γείτονας ὄντας τοὺς Φρύγας;

ΘΑΛ. Τὸν Ἥφαιστον δὲ οὐκ ἔδει ἐλεῆσαι Θέτιδος υἱὸν ὄντα τὸν Ἀχιλλέα; Luciano.

1. πεπονθότα part. perf. de πάσχω en ac., concuerda con με: lit. *a mí que he padecido*. El perf. denota el estado resultante de una acción pasada; trad. *a mí que estoy sufriendo terriblemente*. — τί τοῦτο *qué es esto? qué sucede?*— Hefesto o Vulcano, hijo de Zeus (Júpiter) y de Hera (Juno) es el dios del fuego y de los metales; arrojado del Olimpo, fué recogido por Tetis. La fragua de Efesto ha sido localizada por los poetas bien en el Etna (Sicilia), bien en Lemno (isla del mar Egeo). — ὁ κακοδαίμων *infeliz de mí*. **2.** Tetis, una de las nereidas o hijas de Nereo; según el mito habita en las profundidades del mar, por esta razón dice ταύτης. Aquiles, el famoso héroe griego en el sitio de Troya, era hijo de Tetis y de Peleo, rey de Tesalia.—

ἐλεήσας sujeto *yo*. —ὡς intención del agente: *a fin de que espantado se alejara...* **3.** ἔτυχε... *se hallaba allí por casualidad*. – μικροῦ δεῖν *faltó poco para*. **5.** οὐκ ἔδει *¿no era oportuno que yo tuviera compasión de los frigios, siendo (mis) vecinos?*

El Cíclope y Neptuno

1 ΚΥΚΛΩΨ. Ὦ πάτερ, οἷα πέπονθα ὑπὸ τοῦ καταράτου ξένου, ὃς μεθύσας ἐξετύφλωσέ με, κοιμωμένῳ ἐπιχειρήσας.

ΠΟΣΕΙΔΩΝ. Τίς δαὶ ἦν ὁ ταῦτα τολμήσας, ὦ Πολύφημε;

ΚΥΚ. Τὸ μὲν πρῶτον Οὖτιν αὐτὸν ἀπεκάλει, ἐπεὶ δὲ διέφυγε καὶ ἔξω ἦν βέλους, Ὀδυσσεὺς ὀνομάζεσθαι ἔφη.

2 ΠΟΣ. Οἶδα δν λέγεις, τὸν Ἰθακήσιον· ἐξ Ἰλίου δ' ἀνέπλει. Ἀλλὰ πῶς ταῦτα ἔπραξεν οὐδὲ πάνυ εὐθαρσὴς ἄν;

ΚΥΚ. Κατέλαβον ἐν τῷ ἄντρῳ ἀπὸ τῆς νομῆς ἀναστρέψας πολλούς τινας, ἐπιβουλεύοντας δῆλον ὅτι τοῖς ποιμνίοις. Ἐπεὶ γὰρ ἐπέθηκα τῇ θύρᾳ τὸ πῶμα — πέτρα δέ ἐστι παμμεγέθης — καὶ τὸ πῦρ ἀνέκαυσα ἐναυσάμενος ὃ ἔφερον δένδρον ἀπὸ τοῦ ὄρους, ἐφάνησαν ἀποκρύπτειν αὐτοὺς πειρώμενοι. 3 Ἐγὼ δὲ συλλαβών τινας αὐτῶν, ὥσπερ εἰκὸς ἦν, κατέφαγον λῃστάς γε ὄντας. Ἐνταῦθα ὁ πανουργότατος ἐκεῖνος, εἴτε Οὖτις εἴτε Ὀδυσσεὺς ἦν, δίδωσί μοι πιεῖν φάρμακόν τι ἐγχέας, ἡδὺ μὲν καὶ εὔοσμον, ἐπιβουλότατον δὲ καὶ ταραχωδέστατον. 4 Ἅπαντα γὰρ εὐθὺς ἐδόκει μοι περιφέρεσθαι πιόντι καὶ τὸ σπήλαιον αὐτὸ ἀνεστρέφετο καὶ οὐκέτι ὅλως ἐν ἐμαυτοῦ ἦμην, τέλος δὲ ἐς ὕπνον κατεσπάσθην. Ὁ δὲ ἀποξύνας τὸν μοχλὸν καὶ πυρώσας γε προσέτι ἐτύφλωσέ με καθεύδοντα, καὶ ἀπ' ἐκείνου τυφλός εἰμί σοι, ὦ Πόσειδον.

5 ΠΟΣ. Ὡς βαθὺν ἐκοιμήθης, ὦ τέκνον, ὃς οὐκ ἐξέθορες μεταξὺ τυφλούμενος. Ὁ δ' οὖν Ὀδυσσεὺς πῶς διέφυγεν; οὐ γὰρ ἄν εὖ οἶδ' ὅτι ἠδυνήθη ἀποκινῆσαι τὴν πέτραν ἀπὸ τῆς θύρας.

6 ΚΥΚ. Ἀλλ' ἐγὼ ἀφεῖλον, ὡς μᾶλλον αὐτὸν λάβοιμι ἐξιόντα, καὶ καθίσας παρὰ τὴν θύραν ἐθήρων τὰς χεῖρας ἐκπετάσας, μόνα παρεὶς τὰ πρόβατα ἐς τὴν νομήν, ἐντειλάμενος τῷ κριῷ ὁπόσα ἐχρῆν πράττειν αὐτὸν ὑπὲρ ἐμοῦ.

ΠΟΣ. Μανθάνω· ὑπ' ἐκείνοις ἔλαθον ὑπεξελθόντες· σὲ δὲ τοὺς ἄλλους Κύκλωπας ἔδει ἐπιβοήσασθαι ἐπ' αὐτόν.

7 ΚΥΚ. Συνεκάλεσα, ὦ πάτερ, καὶ ἦκον· ἐπεὶ δὲ ἤροντο τοῦ ἐπιβουλεύοντος τοὔνομα κἀγὼ ἔφην ὅτι Οὔτίς ἐστιν, μελαγχολᾶν οἰηθέντες με ᾤχοντο ἀπιόντες. Οὕτω κατεσωφίσατό με ὁ κατάρατος τῷ ὀνόματι. Καὶ ὃ μάλιστα ἡνίασέ με, ὅτι καὶ ὀνειδίζων ἐμοὶ τὴν συμφοράν, «Οὐδὲ ὁ πατήρ, φησίν, ὁ Ποσειδῶν ἰάσεταί σε».

8 ΠΟΣ. Θάρρει, ὦ τέκνον· ἀμυνοῦμαι γὰρ αὐτόν, ὡς μάθῃ ὅτι, καὶ εἰ πήρωσίν μοι ὀφθαλμῶν ἰᾶσθαι ἀδύνατον, τά γοῦν τῶν πλεόντων, τὸ σῴζειν αὐτοὺς καὶ ἀπολλύναι, ἐπ' ἐμοί ἐστι· πλεῖ δὲ ἔτι. Luciano.

1. οἷα πέπονθα ὑπὸ τοῦ... *cuanto he padecido a causa del.* — ἐπιχειρήσας κοιμωμένῳ *agrediendo al que dormia*, o, *agrediéndome mientras yo dormia.*—ἔξω βέλους *fuera de tiro* (cuando mis proyectiles no podían alcanzarle). — Ulises, rey de Itaca, que luchó en el sitio de Troya. Homero en la Odisea describe su accidentada vuelta a la patria, uno de cuyos episodios reproduce Luciano en el presente diálogo. — **2.** οἶδα ὃν λέγεις *sé a quien te refieres.*—ἐναυσάμενος... *encendiendo el árbol que yo había llevado del monte.* — ἐφάνησαν... *aparecieron* (*fueron descubiertos*) *cuando intentaban esconderse.* **3.** δίδωσι... *me da* (*dió*) *de beber* (*vino*), *habiendo mezclado alguna droga.* **4.** ἅπαντα... *inmediatamente me parecía que todo daba vueltas y que aun la misma cueva giraba.* — ἐν ἐμαυτοῦ; ἐν con gen. por analogía con la frase ἐν (οἴκῳ) Ἅιδου (pág. 154, nota). — ὁ δέ... *y él, habiendo afilado una estaca.* **6.** ἀλλ' ἐγώ... *más yo mismo la quité.* — μόνα... *dejando únicamente pasar.* — ὑπ' ἐκείνοις *debajo de las ovejas.* **7.** τοὔνομα κἀγὼ =τὸ ὄνομα καὶ ἐγώ.— οἰηθέντες με μελαγχολᾶν *creyendo los cíclopes que yo estaba de mal humor.* **8.** ἀμυνοῦμαι... *le castigaré para que aprenda que si bien a mí me* (*es*) *imposible curar.*

Arquímedes

EL REY HIERÓN II LE ENCARGA LA DEFENSA DE SIRACUSA

1 Ἀρχιμήδης Ἱέρωνι τῷ τῶν Συρακοσίων βασιλεῖ συγγενὴς ὢν καὶ φίλος, ἔγραψεν ὡς τῇ δοθείσῃ δυνάμει τὸ δοθὲν βάρος κινῆσαι δυνατόν ἐστι. Καὶ νεανιευσάμενος, ὥς φασι, ῥώμῃ τῆς ἀποδείξεως, εἶπεν ὡς εἰ γῆν εἶχεν ἑτέραν ἐκίνησεν ἂν ταύτην μεταβὰς εἰς ἐκείνην.

2 Θαυμάσαντος δὲ τοῦ Ἱέρωνος, καὶ δεηθέντος εἰς ἔργον ἐξαγαγεῖν τὸ πρόβλημα καὶ δεῖξαι τι τῶν μεγάλων κινούμενον ὑπὸ σμικρᾶς δυνάμεως, ὁλκάδα τριάρμενον τῶν βασιλικῶν πόνῳ μέ-

γάλῳ καὶ χειρὶ πολλῇ νεωλκηθεῖσαν, ἐμβαλὼν ἀνθρώπους τε πολλοὺς καὶ τὸν συνήθη φόρτον, αὐτὸς ἄπωθεν καθήμενος, οὐ μετὰ σπουδῆς ἀλλ' ἠρέμα, τῇ χειρὶ σείων ἀρχήν τινα πολυπάστου, προσηγάγετο, λείως καὶ ἀπταίστως ὥσπερ διὰ θαλάσσης ἐπιθέουσαν.

3 Ἐκπλαγεὶς οὖν ὁ βασιλεὺς καὶ συννοήσας τῆς τέχνης τὴν δύναμιν, ἔπεισε τὸν Ἀρχιμήδην ὅπως αὐτῷ τὰ μὲν ἀμυνομένῳ τὰ δ' ἐπιχειροῦντι μηχανήματα κατασκευάσῃ πρὸς πᾶσαν ἰδέαν πολιορκίας. Οἷς αὐτὸς μὲν οὐκ ἐχρήσατο, τοῦ βίου τὸ πλεῖστον ἀπόλεμον καὶ πανηγυρικὸν βιώσας.

Los romanos son rechazados

4 Ὡς οὖν προσέβαλον οἱ Ῥωμαῖοι διχόθην, ἔκπληξις ἦν τῶν Συρακοσίων καὶ σιγὴ διὰ δέος, μηδὲν ἀνθέξειν πρὸς βίαν καὶ δύναμιν οἰομένων τοσαύτην.

5 Σχάσαντος δὲ τὰς μηχανὰς τοῦ Ἀρχιμήδους ἅμα τοῖς μὲν πεζοῖς ἀπήντα τοξεύματά τε παντοδαπὰ καὶ λίθων ὑπέρογκα μεγέθη, ῥοίζῳ καὶ τάχει καταφερομένων ἀπίστῳ, καὶ μηδηνὸς ὅλως τὸ βρῖθος στέγοντος ἀθρόους ἀνατρεπόντων τοὺς ὑποπίπτοντας καὶ τὰς τάξεις συγχεόντων.

6 Ταῖς δὲ ναυσὶν ἄφνω τῶν τειχῶν ὑπεραιωρούμεναι κεραῖαι, τὰς μὲν ὑπὸ βρίθους στηρίζοντος ἄνωθεν ὠθοῦσαι κατέδυον εἰς βυθόν, τὰς δὲ χερσὶ σιδηραῖς ἢ στόμασιν εἰκασμένοις γεράνων ἀνασπῶσαι πρῴραθεν ὀρθὰς ἐπὶ πρύμναν ἐβάπτιζον.

7 Πολλάκις δε μετέωρος ἐξαρθεῖσα ναῦς ἀπὸ τῆς θαλάσσης δεῦρο κἀκεῖσε περιδινουμένη καὶ κρεμαμένη θέαμα φρικῶδες ἦν, μέχρι οὗ τῶν ἀνδρῶν ἀπορριφέντων καὶ διασφενδονηθέντων κενὴ προσπέσοι τοῖς τείχεσιν ἢ περιολίσθοι τῆς λαβῆς ἀνείσης.

1. ἔγραψεν... *le escribió* (a Hierón) *que con una fuerza dada es posible mover un peso dado.* —ὥς φασι *según dicen, según se cuenta.* — μεταβάς... *trasladándose a aquella (otra tierra).* **2.** χειρὶ πολλῇ *con gran cantidad de brazos.* — ἐμβαλών... *colocando (a bordo de la nave) numerosos hombres y la carga habitual.* — προσηγάγετο... *atraía hacia sí (la nave) suavemente y sin tropiezos.* **3.** ὅπως... *que le construyera máquinas de guerra, unas defensivas y otras ofensivas (unas para el que se defiende, otras para el que*

ataca). — αὐτός *el rey*. **4.** οἰομένων (concuerda con τῶν Συρακοσίων) *que pensaban que nada resistiria*. **5.** σχάσαντος... gen. absoluto: *mas al disparar Arquimedes*. — τοξεύματα etc , sujeto n. pl. y verbo (ἀπήντα) en sing. — καταφερομένων gen. absoluto; el sujeto se sobreentiende τοξευμάτων etc. — μηδενὸς στεγοντος... gen. absoluto, *nada absolutamente (les) protege contra su peso*. — ἀνατρεπόντων... συγχεόντων... gen absolutos; el sujeto también τοξευμάτων etc. **6.** ταῖς δὲ ναυσίν... *en cuanto a las naves, de repente levantándose unas antenas por encima de las murallas*. — ὠθοῦσαι κατέδυον (sujeto κεραῖαι) *empujando las sumergen*. **7.** τῶν ἀνδρῶν gen. absoluto.

El arte de educar

1 Ἐπειδὰν θᾶττον συνιῇ τις τὰ λεγόμενα, καὶ τροφὸς καὶ μήτηρ καὶ παιδαγωγὸς καὶ αὐτὸς ὁ πατὴρ περὶ τούτων διαμάχονται, ὅπως βέλτιστος ἔσται ὁ παῖς, παρ' ἕκαστον καὶ ἔργον καὶ λόγον διδάσκοντες καὶ ἐνδεικνύμενοι ὅτι τὸ μὲν δίκαιον τὸ δὲ ἄδικον, καὶ τόδε μὲν καλόν, τόδε δὲ αἰσχρόν, καὶ τόδε μὲν ὅσιον, τόδε δὲ ἀνόσιον, καὶ τὰ μὲν ποίει, τὰ δὲ μὴ ποίει.

2 Καὶ ἐὰν μὲν ἑκὼν πείθεται... εἰ δὲ μή, ὥσπερ ξύλον διαστρεφόμενον καὶ καμπτόμενον εὐθύνουσιν ἀπειλαῖς καὶ πληγαῖς. Μετὰ δὲ ταῦτα εἰς διδασκάλων πέμποντες πολὺ μᾶλλον ἐντέλλονται ἐπιμελεῖσθαι εὐκοσμίας τῶν παίδων ἢ γραμμάτων καὶ κιθαρίσεως.

3 Οἱ γραμματισταὶ τοῖς μήπω δεινοῖς γράφειν τῶν παίδων ὑπογράψαντες γραμμὰς τῇ γραφίδι οὕτω τὸ γραμματεῖον διδόασι καὶ ἀναγκάζουσιν γράφειν κατὰ τὴν ὑφήγησιν τῶν γραμμῶν.

4 Καὶ ἐπειδὰν αὖ γράμματα μάθωσιν καὶ μέλλωσιν συνήσειν τὰ γεγραμμένα, ὥσπερ τότε τὴν φωνήν, παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βάθρων ἀναγιγκόσκειν ποιητῶν ἀγαθῶν ποιήματα καὶ ἐκμανθάνειν ἀναγκάζουσιν, ἐν οἷς πολλαὶ μὲν νουθετήσεις ἔνεισιν, πολλαὶ δὲ διέξοδοι καὶ ἔπαινοι καὶ ἐγκώμια παλαιῶν ἀνδρῶν ἀγαθῶν, ἵνα ὁ παῖς ζηλῶν μιμῆται καὶ ὀρέγηται τοιοῦτος γενέσθαι.

5 Οἵ τ' αὖ κιθαρισταί σωφροσύνης ἐπιμελοῦνται καὶ ὅπως ἂν οἱ νέοι μηδὲν κακουργῶσιν. Πρὸς δὲ τούτοις, ἐπειδὰν κιθαρίζειν μάθωσιν, ἄλλων αὖ ποιητῶν ἀγαθῶν ποιήματα διδάσκουσιν, μελοποιῶν, εἰς τὰ κιθαρίσματα ἐντείνοντες καὶ τοὺς ῥυθμούς τε καὶ

τὰς ἁρμονίας ἀναγκάζουσιν οἰκειοῦσθαι ταῖς ψυχαῖς τῶν παίδων ἵνα ἡμερώτεροι τε ὦσιν, καὶ εὐρυθμότεροι καὶ εὐαρμοστότεροι γιγνόμενοι, χρήσιμοι ὦσιν εἰς τὸ λέγειν τε καὶ πράττειν· πᾶς γὰρ ὁ βίος τοῦ ἀνθρώπου εὐρυθμίας τε καὶ εὐαρμοστίας δεῖται. Platón.

1. ἐπειδὰν θᾶττον *tan pronto como*—τὰ λεγόμενα *lo que (le) dicen.* **2.** εἰς (se entiende οἰκίαν) διδασκάλων. — Los verbos que significan *cuidar, descuidar,* como ἐπιμελέω, se construyen con gen. del objeto. **3.** τοῖς μήπω... *a aquellos (de los) niños que todavía no son capaces de escribir.* **4.** μέλλωσιν... *y están en disposición de* — ὥσπερ τότε τὴν φωνὴν *como antes (llegaron a entender) la voz (lo que les decían).* **5.** ἄλλων αὖ *también (les) enseñan las obras de otros buenos poetas, de los líricos.*—ἵνα ἡμερώτεροι *para que sean más educados.*

VOCABULARIO

GRIEGO ESPAÑOL

A

ἀ-βλαβής ές sin daño, inocuo
ἀγαθός ή όν bueno; ἐπ' ἀγαθῷ con buena intención, para el bien de alguien; *Ágata*
ἄγαλμα ατος, τό estatua, imagen
ἀγανακτέω ῶ encolerizarse, indignarse
ἀγαπάω ῶ amar
ἀγγέλλω *lec. 16 y 17* anunciar
ἄγγελος ου, ὁ mensajero, nuncio; *ángel, Evangelio, Etim. 16*
ἀγείρω reunir
Ἀγησίλαος ου, ὁ Agesilao
ἅγιος α ον santo; *hagiógrafo*
ἀ-γνοέω ῶ ignorar, no saber, no reconocer; *agnosticismo*
ἀγορά ᾶς, ἡ reunión, plaza pública, mercado
ἄ-γραφος ον no escrito
ἄγριος α ον salvaje, rústico; *agrio*
ἀγρός οῦ, ὁ campo
ἄγω *fut.* ἄξω *aor.* ἤγαγον *perf.* ἦχα (*lat.* duco) conducir, guiar, llevar
ἀγών ῶνος, ὁ lucha; *agonía*
ἄδεια ας, ἡ seguridad
ἀδελφή ῆς, ἡ hermana
ἀδελφός οῦ, ὁ hermano
Ἅιδης ου, ὁ *Hades,* mansión de los muertos
ἀδικέω ῶ cometer injusticias, ser injusto; *voz med.* recibir injusticias, ser víctima de
ἀδικία ας, ἡ injusticia
ἄ-δικος ον injusto
ἀδίκως *adv.* injustamente
ἀ-δύνατος ον imposible, que no puede, incapaz
ᾄδω *fut.* ᾄσομαι *aor.* ᾖσα *pas. aor.* ᾔσθεν *fut.* ᾀσθήσομαι cantar
ἀεί *adv.* siempre
ἀ-ζήμιος ον impune, sin recibir castigo
ἀήρ ἀέρος, ὁ aire; *aereolito*
ἀ-θάνατος ον inmortal; *Atanasio*
Ἀθῆναι ῶν, αἱ Atenas
Ἀθηναῖος ου, ὁ ateniense
ἄθλιος α ον desventurado
ἀθρόος (ἀθρόος) α ον reunido, compacto, numeroso
αἰγιαλός οῦ, ὁ playa, orilla del mar
Αἰγύπτιος ου, ὁ egipcio
Αἴγυπτος ου, ἡ Egipto
αἰδέομαι οῦμαι respetar, tener compasión

Αἰθιοπία ας, ἡ Etiopía
αἰκία ας, ἡ ultraje, injuria, afrenta, degradación
αἷμα ατος, τό sangre; *hemorragia, anemia*
Αἰνείας ου, ὁ Eneas
αἰνέω ῶ *lec. 11, fut.* αἰνέσω etc. alabar
αἱρέω ῶ *lec. 30* coger, tomar
αἴρω *fut.* ἀρῶ *aor.* ἦρα *perf.* ἦρκα levantar
αἰσθάνομαι *lec. 28* sentir, percibir, comprender; *estética*
αἴσχιστος η ον *superl. de*
αἰσχρός ά όν vergonzoso
αἰσχύνω *lec. 17* deshonrar; *med.* avergonzarse, respetar
αἴτιος α ον autor, causante, responsable
Αἴτνη ης, ἡ Etna
Αἰτωλία ας, ἡ Etolia
Αἰτωλός οῦ de Etolia
αἰφνίδιος ον repentino, súbito αἰφνίδιον *adv.* de repente
αἰχμάλωτος ον prisionero (de guerra), esclavo
αἰών αἰῶνος, ὁ tiempo, vida, eternidad, siglo
αἰώνιος ον eterno
Ἀκαρνάν ᾶνος, ὁ de Acarnania
ἀκηκο- *de* ἀκούω
ἀ-κίνητος ον sin movimiento, inmóvil
ἀκοντίζω *fut.* ἀκοντιῶ *aor.* ἠκόντισα lanzar dardos, herir con dardos
ἀκούσιος ον involuntario
ἀκούω *fut.* ἀκούσομαι *aor.* ἤκουσα *perf.* ἀκήκοα oír, escuchar, llegar a saber; *acústica*
ἄκρα ας, ἡ promontorio, punta
ἀ-κρατία ας, ἡ intemperanza
ἄ-κρατος ον no mezclado, puro; vino sin agua
ἄκρος α ον alto, lo más alto; extremo
ἀκτή ῆς, ἡ costa (escarpada), colina, promontorio
ἄκων ἄκουσα ἄκον que obra contra su voluntad, forzado
ἀλ- *de* ἁλίσκομαι
ἀλαζονεύομαι fanfarronear; jactarse
ἀλαζών όνος, ὁ ἡ jactancioso, fanfarrón
Ἀλέξανδρος ου, ὁ Alejandro
ἀλήθεια ας, ἡ verdad
ἀληθής ές verdadero
ἁλίσκομαι *lec. 29* ser cogido
ἁλιτενής ές que se adentra en el mar
ἄλκιμος ον valeroso, fuerte
ἀλλά, ἀλλ' *conj. advers.* sino, antes bien, mas, pero, sin embargo
ἀλλήλων *gen. pl. sin nom.; dat.* -οις -αις -οις *ac.* -ους -ας -α *dual gen.* -οιν -αιν -οιν *ac.* -ω -α -ω *pron. recíproco* los unos de los otros; *paralela*
ἄλλοθι *adv.* en otra parte
ἄλλος η ο otro
ἄλλως *adv.* de otro modo
ἀ-λόγιστος ον irreflexivo, insensato
ἄ-λογος ον irracional, sin razón
ἀλώπηξ εκος, ἡ zorra; *alopecia*

ἅμα *adv. y prep. (con dat.)* junto, a la vez

Ἀμαζών όνος, ἡ *Amazona*

ἅμαξα ης, ἡ carro

ἁμαρτάνω *lec. 28* errar (el golpe), pecar, faltar

ἀ-μαχετί *adv.* sin lucha, sin combatir

ἀμείνων ον *comp. de* ἀγαθός

ἀ-μελέω ῶ descuidar, desatender, ser negligente

ἀ-μελῶς *adv.* con negligencia, sin cuidado

ἀ-μετάθετος ον inmutable

ἀμιλλάομαι ῶμαι combatir, rivalizar

ἄμυνα ης, ἡ defensa, venganza

ἀμύνω *fut.* ἀμυνῶ *aor.* ἤμυνα apartar, alejar (el peligro); proteger; *voz med.* castigar, vengarse de

ἀμφί *adv. y prep. (con gen.)* alrededor, de uno y otro lado; *(con dat. sólo en poesía); (con ac.)* alrededor, con, hacia, cerca, casi; *amfibología*

ἀμφι-θάλαττος ον bañado por el mar

ἀμφότερος α ον uno y otro, ambos

ἄν *(particula que da sentido condicional, desiderativo a la frase; generalmente no se traduce),* quizás

ἀνά *adv.* arriba; *prep.; (con gen. y dat. sólo se usa en poesía); (con ac.)* sobre, durante, a, por, con, cada

ἀνα-βαίνω subir

ἀνα-βάλλω hacer subir, lanzar hacia arriba

ἀνα-βιβάζω hacer montar (a caballo, al carro)

ἀνα-βοάω ῶ llamar a voces, gritar

ἀν-αγγέλλω anunciar (de nuevo), referir, comunicar

ἀνα-γιγνώσκω conocer perfectamente; leer

ἀναγκάζω obligar

ἀνάγκη ης, ἡ necesidad

ἀν-αιρέω ῶ *lec. 30* llevarse, levantar, recoger; matar, exterminar

ἀνα-καίω *lec. 11* encender

ἀνα-καλέω ῶ llamar (en voz alta), invocar, convocar

ἀνα-λαμβάνω acoger, volver a ocupar

ἀνα-λάμπω brillar, encenderse

ἀν-αλίσκω *lec. 29* gastar

ἀνάλωμα ατος, τό pérdida, gasto

ἀνα-πλέω navegar (en alta mar), hacia arriba en el río, regresar navegando

ἀνα-πνέω respirar, recobrar el aliento

ἀν-αριθμέω ῶ enumerar; *aritmética*

ἀν-αρίθμητος ον innumerable

ἀνα-σπάω ῶ tirar (hacia arriba)

ἀνα-στα- *de* -ίστημι

ἀνάστατος ον devastado, destruido

ἀνα-στρέφω volver, regresar; dar vueltas, volverse atrás

ἀνα-τρέπω volcar

ἀνα-φαίνω manifestar, hacer ver;

med. mostrarse, ser descubierto
ἀνα-φέρω hacer subir, levantar(se)
ἀνα-χωρέω ῶ retroceder
ἀνδρεῖος α ον valiente, viril
ἀν-ειλ-, -ελ- *de* ἀν-αιρέω
ἄνεμος ου, ὁ viento; *anemómetro*
ἀν-έρχομαι subir
ἄνευ *prep. (gen.)* sin
ἀνήρ ἀνδρός, ὁ hombre
ἀνθ-έξω *fut. de* ἀντ-έχω
ἄνθραξ ακος, ὁ carbón; *ántrax*
ἄνθρωπος ου, ὁ hombre; *antropología*
ἀνιάω ῶ afligir, entristecer
ἀν-ίημι dejar libre, aflojar
ἀν-ίστημι levantar(se)
ἄν-οδος ον impracticable, sin camino
ἄνοια ας, ἡ necedad, locura
ἀν-οίγω *impf.* -έῳγον *fut.* -οίξω *aor.* -έῳξα *perf.* -έῳχα *pas. aor.* -εῴχθην *perf.* -έῳγμαι abrir; *lec. 5*
ἀν-ορθόω ῶ restablecer, enderezar
ἀν-όσιος ον impío
ἀντ-έχω resistir
ἀντί *prep. (gen.)* en lugar, en vez de; *antípoda*
Ἀντίγονος ου, ὁ Antígono
Ἀντίρριον ου, τό Antirrión, promontorio
ἀντι-τάττω resistir
ἄντρον ου, τό cueva, *antro*
ἄνω *adv.* arriba, hacia arriba
ἄνωθεν *adv.* desde arriba
ἀξίνη ης, ἡ hacha
ἀξιό-λογος ον digno de mención
ἄξιος α ον digno, merecedor
ἀξιόω ῶ juzgar digno de, apreciar; *med.* ser digno de, merecer
ἀόρατος ον invisible
ἀπ-αγγέλλω anunciar, ir a informar
ἀπ-αγριόω ῶ volver(se) salvaje, enfurecer(se)
ἀπ-άγω llevarse consigo, sacar fuera
ἀπ-αίρω alejar(se)
ἀπ-αλλάττω *fut.* -αλλάξω *aor.* -ήλλαξα *pas. aor. 2.°* -ηλλάγην apartar, librarse
ἀπ-ανθρακόω ῶ convertir(se) en carbón, en ascuas
ἀπ-αντάω ῶ ir al encuentro
ἅπας ἅπασα ἅπαν todo, todo entero
ἀπάτη ης, ἡ engaño
ἀπ-ε- *de* ἀπο- *lec. 6*
ἀπειθέω ῶ desobedecer
ἀπ-ειλέω ῶ amenazar
ἀπειλή ῆς, ἡ amenaza
ἄπ-ειμι *tema* ἐσ estar ausente, estar lejos
ἄπ-ειμι *tema* εἰ, ἰ marcharse, irse, alejarse
ἄ-πειρος ον inexperto, no experimentado (πειράω)
ἄ-πειρος ον infinito, ilimitado (πέρας)
ἄ-περ *de* ὅσ-περ
ἀπ-έρχομαι alejarse, irse
ἀπέχθεια ας, ἡ odio, animosidad
ἀπ-έχω apartarse, abstenerse, dejar, distar
ἀπ-ηλθ- *de* ἀπ-έρχομαι
ἀπ-ηρ- *de* ἀπ-αίρω

ἀπῆσαν *de* ἄπειμι
ἀ-πίθανος ον no persuasivo
ἄ-πιστος ον increíble
ἀ-πλατής ές sin anchura
ἄ-πλετος ον inmenso, abundante
ἁπλῶς *adv.* simplemente
ἀπό, ἀπ' *prep. gen.* de, desde, por
ἀπο-βαίνω bajar
ἀπο-βάλλω echar a perder
ἀπο-βλέπω ver, mirar desde lejos
ἀπόγνωσις εως, ἡ desesperación
ἀπο-δείκνυμι hacer ver, demostrar; *apodíctico*
ἀπόδειξις εως, ἡ demostración, prueba
ἀπο-δίδωμι entregar, pagar (un favor, el precio), restituir
ἀπο-θαν- *de* -θνήσκω
ἀπο-θέωσις εως, ἡ *apoteosis*
ἀπο-θνήσκω *lec. 29* morir
ἀπο-καθ-ίστημι restablecer
ἀπο-καίω (-κάω) abrasar
ἀπο-καλέω ῶ llamar, hacer volver
ἀπο-κινέω ῶ mover (de), sacar
ἀπο-κρίνω separar; *voz med.* responder
ἀπόκρισις εως, ἡ respuesta
ἀπο-κρύπτω cubrir, esconder(se); *apócrifo*
ἀπο-κτείνω *perf.* ἀπέκτονα matar
ἀπόλαυσις εως, ἡ goce
ἀπο-λείπω dejar
ἀ-πόλεμος ον pacífico, sin hacer guerra
ἀπο-λήγω terminar, cesar
ἀπ-όλλυμι *lec. 30* perecer
ἀπ-οξύνω *fut.* -οξυνῶ *aor.* -ώξυνα afilar, aguzar
ἀπο-πειράω ῶ *y* ῶμαι probar, tentar (*gen. de persona*)
ἀπορέω ῶ estar perplejo, dudar
ἄ-πορος ον *a*) sin paso, infranqueable; *b*) pobre, sin recursos, en dificultad
ἀπο-ρρίπτω dejar caer
ἀπο-σείω sacudir
ἀπο-στέλλω *fut.* -στελῶ *aor.* -έστειλα *perf.* -έσταλκα enviar; *apóstol*
ἀπο-σχ- *de* ἀπ-έχω *lec. 30*
ἀπο-τέμνω cortar
ἀπο-τρέπω disuadir, hacer desistir
ἀπο-χωρέω ῶ alejarse
ἀ-πταίστως *adv.* sin tropiezos
ἅπτω *fut.* ἅψω *aor.* ἧψα *pas. aor.* ἥφθην *perf.* ἧμμαι *a*) atar, tocar; *b*) encender, inflamar
ἄπωθεν *adv. y prep.* desde lejos
ἄρα *particula* pues, en efecto; a la sazón, después, y
Ἀράξης ου, ὁ Araxes
Ἀργεία ας, ἡ Argólida
Ἀργεῖος α ον habitante de Argos; *por extensión* griego
ἀργός όν ocioso, inactivo; no cultivado, no trabajado
ἀργύρεος α ον de plata
ἀργύριον ου, τό objeto, moneda de plata
ἄργυρος ου, ὁ plata
ἄρδην *adv.* completamente
ἀρέσκω *lec. 29* agradar
ἀρετή ῆς, ἡ virtud
ἀρήγω socorrer
Ἀρίσταρχος ου, ὁ Aristarco
ἀριστερός ά όν izquierdo, puesto a la izquierda

Ἀριστόδημος ου, ὁ Aristodemo
ἄριστος η ον *superl. de* ἀγαθός; *aristocracia*
Ἀριστοτέλης ους, ὁ Aristóteles
Ἀρκαδία ας, ἡ Arcadia
ἀρκέω ῶ bastar
ἄρκτος ου, ὁ ἡ oso; *pl.* la Osa mayor y menor, el norte
ἅρμα ατος, τό carro
ἁρμονία ας, ἡ *armonia,* proporción
ἁρμόττω ajustar, estar de acuerdo
ἀρξ- *de* ἀρχ
ἁρπαγή ῆς, ἡ rapacidad, robo
ἁρπάζω arrebatar, robar
ἀρχή ῆς, ἡ principio
ἀρχιδιάκονος ου, ὁ arcediano
Ἀρχιμήδης ους, ὁ Arquímedes
ἄρχω *impf.* ἦρχον *fut.* ἄρξω *aor.* ἦρξα *pas. aor.* ἤρχθην *perf.* ἦργμαι *a*) ser el primero (entre muchos), mandar; *b*) hacer algo por primera vez o hacerlo el primero; *Etim. 4.*
ἄρχων οντος, ὁ jefe, rey, magistrado, arconte, arquitecto, monarca
ἀσθένεια ας, ἡ debilidad, enfermedad
ἀσθενέω ῶ estar débil, enfermo
ἀσθενής ές sin fuerza, débil, enfermo; *neurastenia*
Ἀσία ας, ἡ Asia
ἀσκέω ῶ *impf.* ἤσκουν *fut.* ἀσκήσω *aor.* ἤσκησα *perf.* ἤσκηκα *aor. pas.* ἠσκήθην ejercitar; *ascetismo*
Ἀσκληπιός οῦ, ὁ Esculapio
ἆσμα ατος, τό canto
ἀσπάζομαι saludar afectuosamente
ἀσφαλής ές firme, seguro
ἄσφαλτος ου, ἡ *asfalto*
ἀσφαλῶς *adv.* con seguridad, sin peligro
ἄ-τοπος ον fuera de lugar, extravagante, ridículo
Ἀττική ῆς, ἡ Ática
αὖ *particula,* luego, también, a la sazón
αὐγή ῆς, ἡ brillo, rayo, resplandor
αὐθ-ήμερος ον del mismo día; -ον *adv.* en el mismo día, al instante.
αὖθις *adv.* de nuevo
αὐλός οῦ, ὁ instrumento de viento, flauta
αὐξάνω *lec. 28* hacer crecer
αὔξω hacer crecer
αὐστηρότης ητος, ἡ sequedad, asperidad; *austero*
αὐτίκα *adv.* al momento
αὐτόθι *adv.* allí mismo
αὐτός ή ό (*pron. de 3.ª pers. y dem.*) aquel, él, él mismo; *autógrafo*
αὑτοῦ = ἑαυτοῦ
ἀφ' = ἀπό
ἀφ-αιρέω ῶ *lec. 30* quitar; *aféresis*
ἀ-φανής ές invisible, secreto
ἀφθονία ας, ἡ abundancia
ἀφθόνως *adv.* abundantemente
ἀφ-ίημι *lec. 23* soltar, dejar libre
ἀφικνέομαι οῦμαι *lec. 28* llegar
ἄφνω *adv.* de repente
ἄφ-οδος ου, ἡ salida
ἄ-φωνος ον mudo, sin voz; *afónico*

Ἀχαιός ά όν de Acaya
ἀχαριστία ας, ἡ ingratitud
ἀ-χάριστος ον ingrato
Ἀχελῷος ου, ὁ Aqueloo
ἀχθο-φορέω ῶ llevar una carga
Ἀχιλλεύς έως, ὁ Aquiles
ἀψ- *de* ἅπτω

Β

Βαβυλωνία ας, ἡ Babilonia
βαδίζω *fut.* βαδιοῦμαι *aor.* ἐβάδισα ir, caminar
βάθρον ου, τό banco, base, pedestal
βαθύς εῖα ύ profundo
βαίνω *lec. 19 y 28* ir, andar
βάλλω *lec. 29* lanzar, echar
βαπτίζω sumergir; *bautismo*
βάρβαρος ον extranjero, *bárbaro*
βάρος ους, τό carga, peso; *barómetro*
βαρύς εῖα ύ grave, pesado; *barítono*
βασιλεύς έως, ὁ rey
βασιλικός ή όν real; *bastlica*
βάτραχος ου, ὁ rana
βέβαιος (α) ον seguro, firme
βέλος ους, τό tiro, proyectil, arma arrojadiza
βέλτιστος η ον *superl. de* ἀγαθός
βία ας, ἡ fuerza, violencia
βιάζω usar de la fuerza, forzar
βίος ου, ὁ vida; *biografía; Etim. 10*
βιόω ῶ vivir
βλάβη ης, ἡ daño, perjuicio, mal
βλάπτω dañar, perjudicar
βλαστάνω *lec. 28* germinar, brotar, crecer
βλαστός οῦ, ὁ brote nuevo (de las plantas)
βλέπω mirar
βλέφαρον ου, τό párpado; *blefaritis*
βοάω ῶ gritar
βοήθεια ας, ἡ socorro
Βοιωτία ας, ἡ Beocia
Βοιώτιος α ον de Beocia
βορρᾶς ᾶ, ὁ viento boreal, del norte
βουλή ῆς, ἡ consejo
βούλομαι *impf.* ἐβουλόμην *o* ἠβουλόμην *fut.* βουλήσομαι *aor.* ἐ- *o* ἠβουλήθην *perf.* βεβούλημαι querer, proponerse, intentar *lec. 5 y 29*
βραχυλογία ας, ἡ concisión (en el hablar)
βραχυλόγος ον conciso en el hablar
βραχύς εῖα ύ breve; *braquiuro*
βρέχω *fut.* βρέξω *aor.* ἔβρεξα *perf. med.* βέβρεγμαι humedecer, mojar
βρῖθος ους, τό peso
βροτός όν *(poét.)* mortal
βυθός οῦ, ὁ fondo (del mar, del agua); *buzo*
βωμός οῦ, ὁ altar, pedestal

Γ

γαλήνη ης, ἡ calma, serenidad (del mar); *galena*
γάρ *conj.* porque, en verdad, pues; *lat.* enim
γαστήρ γαστρός, ἡ vientre; *gástrica*
γέ, γε, γ' *enclítica,* en verdad,

ciertamente, al menos, hasta
γειτνιάω ῶ ser vecino, colindar
γείτων ονος *subs. y adj.* vecino
γελάω ῶ reír
γελοῖος α ον que mueve a risa, ridículo
γέλως ωτως, ὁ risa
